www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΜΕΘΟΔΙΟΥ

## ΤΟΥ ΕΝ ΝΗΒΡΥΤῼ



www.tezaurliturgic.ro




Ὁ Ὅσ. Μεθόδιος ἀνάμεσα σέ ἄλλους Κρῆτες Ἁγίους.
Ἔργο Ἐμμ. Μεταξάκη. Ἱ.Ν. Ἁγ. Τριάδος
Πόλεως Ἁγ. Νικολάου Κρήτης.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΜΕΘΟΔΙΟΥ

## ΤΟΥ ΕΝ ΝΗΒΡΥΤῼ

# ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στʹ,
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.*

Τῶν γεηρῶν καὶ προσύλων ὤφθης, Μεθόδιε, ἁπάντων ὑπερόπτης, ζηλωτὰ τῶν ἀφθίτων· διὸ καὶ ἠξιώθης τῆς ἐν Ἐδέμ, θεοφόρε, θεώσεως, ἔνθα Χριστὸν ἱκετεύεις ὑπέρ ἡμῶν τῶν τιμώντων σου τὴν ἄσκησιν.

Ταῖς ἀρεταῖς ἔξω κόσμου καὶ τῆς σαρκὸς γεγονώς, ὡράθης ὑπερόπτης τῶν προσύλων ἁπάντων καὶ δήμου τῶν ὁσίων ὑπογραμμὸς θεοφόρε Μεθόδιε· διὸ καὶ χάριν ἀπείληφας τῷ Χριστῷ δυσωπῶν ὑπὲρ προσφύγων σου.

Ἀπεκδυσάμενος πάτερ, τὸν πεπτωκότα Ἀδάμ, τῇ αἰσθητῇ ἐκδύσει, ἐνεδύσω τὸν νέον, Χριστὸν τὸν Ζωοδότην, ὃν ὡς στεῤῥὸν τεῖχος ἔχων καὶ ἄῤῥηκτον,

www.tezaurliturgic.ro

τὰς μεθοδίας ἐπάτησας τοῦ ἐχθροῦ, καὶ τῆς νίκης στέφος εἴληφας.

Ξένως χορεύων ταῖς ἄνω παστάσιν Ὅσιε, καὶ ἐντρυφῶν τῆς δόξης, τοῦ τῶν ὅλων Δεσπότου, Μεθόδιε τρισμάκαρ δυσώπει ἀεί, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, ἵνα τρυφῆς αἰωνίου ἐν οὐρανοῖς σὺν ἀγγέλοις ἀπολαύσωμεν.

*Ἕτερα Προσόμοια.*

*Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Πόνοις νυχθημέροις σου ἐν τῷ σπηλαίῳ, Μεθόδιε, τῷ ἀνίκμῳ κατέστειλας σαρκὸς τὰ κινήματα καὶ σὸν θεῖον πνεῦμα ἔτεινας πρὸς ὕψη ἀῤῥήτου δόξης, θαυμαστέ, Νηβρύτου κλέος περιφανέστατον· διὸ τὴν θείαν μνήμην σου καὶ ἀεισέβαστον μέλποντες δοξάζομεν Κύριον σὲ δοξάσαντι θαύμασι.

Βίον ἀκηλίδωτον, ὑπομονὴν καὶ πραότητα, καὶ ἀγάπην ἀνόθευτον, ἐγκράτειαν ἄμετρον προσευχὴν νηστείαν, κατάνυξιν θείαν, πίστιν, ἐλπίδα ἀσφαλῆ, ἐν ἀπαθείᾳ πάτερ ἐβίωσας, ἐν τῇ Νυβρήτῳ ὅσιε, φωστὴρ ἀζύγων Μεθόδιε· ὅθεν θήκην λειψάνων σου εὐλαβῶς ἀσπαζόμεθα.

Ὁ νοῦς σου λαμπόμενος ταῖς θεϊκαῖς ἐπινεύσεσι, τῶν τοῦ σώματος ὕπερθεν, παθῶν ἐχρημάτισας ἀμιγὴς τῶν κάτω, φέρων χαρακτῆρας, καὶ ἐκτυπῶν ἐν ἑαυτῷ τὸ θεῖον κάλλος καὶ γνωριζόμενος, ὅλος θεοειδέστατος τῇ συνεργίᾳ τοῦ Πνεύματος ἐν Νηβρύτῳ Μεθόδιε, μοναζόντων ἀγλάϊσμα.

Ἡλίου φαιδρότερον λελαμπρυσμένη ἡ μνήμη σου, τοῖς πιστοῖς ἐξανέτειλε, τὴν κτίσιν φωτίζουσα

www.tezaurliturgic.ro
θείαις φρυκτωρίαις, Μεθόδιε μάκαρ καὶ παθημάτων τὴν ἀχλὺν καὶ τῶν δαιμόνων σκότους διώκουσα, διό σε μακαρίζομεν καὶ τὴν ἁγίαν σου σήμερον ἐκτελοῦντες πανήγυριν τὸν Σωτῆρα δοξάζομεν.

*Δόξα. Ἦχος πλ. β΄.*

Ὡς ὄντως ἄμεμπτος ὁ βίος σου καὶ εἰρηνικὸν τὸ τέλος σου, ἀσκητὰ τῆς Νηβρύτου θειότατε, Μεθόδιε ὅσιε· πτωχὸν γονέα γὰρ ἐσκέπασας ὑπὸ τὴν σκέπην τῆς σῆς ὁσιότητος, οὗ τὸν υἱὸν οἱ Ἰσμαηλῖται διὰ χρέος αὐτοῦ ἐκράτησαν· ὡς οὖν ὁ ποιμὴν ὁ καλὸς τὸ δάνειον πληρώσας τὸν παῖδα ἠλευθέρωσας. Παῤῥησίαν ὅθεν ἔχων πολλὴν πρὸς Κύριον ἐκτενῶς Αὐτὸν ἱκέτευε ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν... ὁ αὐτός.*

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης, ἠσπάσαντο ἀλλήλαις αἱ μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν; ἔνδοθεν γάρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. Θαυμάσασα ἡ μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾶν, πόθεν μοι τοῦτο, ἵνα ἡ μήτηρ τοῦ Κυρίου ἔλθῃ πρὸς με, ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

*Εἴσοδος, τὸ φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ

www.tezaurliturgic.ro

διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκόλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοτραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστῳ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

www.tezaurliturgic.ro
ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας, οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώπων καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ κακὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον, τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.*

*Ἦχος α΄.*

Ὁ στεῤῥὸς καὶ κλεινὸς Μεθόδιος ἐν τῇ τοῦ βίου ἀθλήσει, τὰ στίφη τῶν δαιμόνων καθεῖλεν· ἑαυτῷ γὰρ ἔσχε τὸν Κύριον καὶ τὸν ἀσκητικὸν δρόμον ἀξίως διήνυσεν, ἐν μοναστῶν δὲ σκηναῖς αἰωνίως ἀγάλλεται, καὶ θρόνῳ Χριστοῦ παριστάμενος, ἀκαταπαύ-

www.tezaurliturgic.ro

στως πρεσβεύει ὁ ὅσιος τοῦ σῶσαι πάντας ἡμᾶς, τοὺς τελοῦντας τὴν ἁγίαν μνήμην αὐτοῦ τὴν σωτήριον.

*Ὁ αὐτός.*

Τὸν ἐν πόνοις τοῖς ἀσκητικοῖς ἀπαράμιλλον, τὸν ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀγωνισάμενον, τὸν προστάτην Νηβρύτου, Μεθόδιον ἅπαντες ὑμνήσωμεν λέγοντες, χαίροις ὁ τῆς πίστεως πρόμαχος κατὰ τοὺς ἀρχαίους πατέρας καὶ διδασκάλους, χαίροις ὁ θείαις λάμψας ἀρεταῖς. Ὁ φωτίσας τῇ ἀρετῇ σου τὸν κόσμον. Χαίροις ἡ τῶν θαυμάτων ἀκένωτος πηγή. Χαίροις τὸ τῆς Κρήτης καύχημα, καὶ τῆς Ἐκκλησίας φαιδρὸν ἀγαλλίαμα.

*Ὁ αὐτός.*

Ὅσιε Μεθόδιε ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, καὶ παρ' αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν ἔπεισας τούς ἀνθρώπους, καταφρονεῖν τῶν ἡδέων. Νῦν δὲ τῷ θείῳ φωτὶ καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, πάτερ Μεθόδιε.

*Ἦχος γ'.*

Ὅσιε Μεθόδιε, τῆς στεῤῥοτάτης σου ἀσκήσεως, τὴν καυστικὴν καὶ ἔμμαχον διαγωγὴν ὡς ἐν ἀδύτοις ἀναπαυόμενος διετέλεσας, τῷ Κυρίῳ συνάψας ἑαυτόν, πνευματικῶς τὰς ψυχοφθόρους φαρέτρας τῶν δαιμόνων κατεπάτησας, καὶ ἔμπλεως πάσης ἀρετῆς γενόμενος, μετ' ἀγγέλων συγχορεύεις ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μεθ' ὧν πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Ἦχος δ'.

Ἔλαμψαν τὰ καλὰ ἔργα σου, ὡς ἥλιος ἐπὶ τῆς γῆς καὶ ἐν οὐρανῷ Χριστοῦ θεράπων Μεθόδιε, ὀρθοδόξως γὰρ ἐκήρυξας ἡμῖν τὴν ἀληθῆ καὶ ἀμώμητον πίστιν Χριστοῦ τοῦ Θεοῦ. Διὸ ἱκέτευε θεοφόρε ἐκτενῶς τῷ Κυρίῳ δωρηθῆναι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Δόξα... Ἦχος πλ. α'.*

Ὅσιε πάτερ τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας τὸν κόσμον κατέλιπες, τὸν πλοῦτον καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος. Ὅθεν πᾶσιν ἐβόας. Ἀγαπήσατε τὸν Θεὸν καὶ εὑρήσετε χάριν αἰώνιον, μηδὲν προτιμήσητε τῆς ἀγάπης Αὐτοῦ. Ἵνα, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ Αὐτοῦ, εὑρήσητε ἀνάπαυσιν μετὰ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις Χριστὲ φύλαξον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν... ὁ αὐτός.*

Πρέπει τῷ Ἰωάννῃ ἡ εὐωδία, πρέπει τῷ βαπτιστῇ τῶν ἀσωμάτων ἡ τερπνότης. Οὗτος γὰρ ἐκήρυξε τὴν ἀπαρχὴν τῆς ἡμῶν σωτηρίας. Ὁ σκιρτῶν ἐν κοιλίᾳ καὶ βοῶν ἐν ἐρήμῳ, μετανοεῖτε ἤγγικεν ἡ βασιλεία, τοῦ βασιλέως ὁ στρατιώτης, ὁ Πρόδρομος τῆς χάριτος, ὁ τὸν Ἀμνὸν προμηνύων πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον Στιχηρά.*

*Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.*

Χαίροις ἀσκητικαῖς ὁμιλῶν χοροστασίαις ἐν ὑψίστοις Μεθόδιε, τὸν βίον γὰρ τούτων πάτερ, ἐπὶ τῆς γῆς ἀληθῶς, ἀρετὴν ἀσκήσας πεπολίτευσαι φα-

www.tezaurliturgic.ro
νείς καθαρώτατον, ἀκηλίδωτον ἔσοπτρον ἀκτινοβόλους ἀστραπὰς εἰσδεχόμενος τὰ τοῦ πνεύματος τοῦ ἁγίου πανόλβιε. Ὅθεν καταυγαζόμενος, ἑώρας τὰ μέλλοντα, πάντα προλέγων ἐκ θείας φωτοφανείας μυούμενος. Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος
τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις τῶν ἀσκητῶν καλλονή, γεγεννημένος καὶ ἀήττητος πρόμαχος, παθῶν γὰρ ἐκτέμνων ῥίζας καὶ τὰς δαιμόνων ὁρμάς, ὑποστὰς ἀνδρείως ἐθριάμβευσας, αὐτῶν τήν ἀσθένειαν καὶ ψυχόλεθρον πλάνησιν, τὴν τοῦ σταυροῦ δὲ τοῦ Σωτῆρος ἐνέργειαν, καὶ ἀνίκητον ἐφανέρωσας δύναμιν, ἣν καὶ περιζωσάμενος ἐνίκησας δύναμιν τῶν ἀθετούντων τὴν θείαν διὰ σαρκὸς ἐπιφάνειαν Χριστοῦ, ὃν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ...

Στῦλος φωτοειδὴς ἀρεταῖς ἐστηριγμένος καὶ νεφέλη σκιάζουσα, τῇ κώμῃ Νηβρύτω ὤφθης πρὸς οὐρανὸν ἐπὶ γῆς, εἰς Θεὸν ὁρώντων προηγούμενος, σταυροῦ βακτηρία τὴν τῶν παθῶν ῥήξας θάλασσαν, τὸν νοητὸν δὲ Ἀμαλὴκ τροπωσάμενος ἀνεμπόδιστον τὴν οὐράνιαον ἄνοδον, εὗρες θεομακάριστε, καὶ κλῆρον ἀκήρατον σὺν ἀσωμάτοις τῷ θρόνῳ περιχαρῶς παριστάμενος Χριστοῦ, ὃν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

*Δόξα... Ἦχος πλ. δ'.*

Ὥσπερ ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς, γυμνὸς ὢν τῇ ἁπλότητι καὶ ζωὴ τῇ ἀτέχνῳ οὐδό-

www.tezaurliturgic.ro
λως ᾐσχύνετο οὕτω καὶ αὐτός, Μεθόδιε Ὅσιε, τῇ ὑπακοῇ Χριστοῦ καλυπτόμενος οὐκ ἐπησχύνθης τὸ ἐπίπονον τῆς ἀσκήσεως μαρτύριον, ἀλλὰ γυμνὸς παραταξάμενος πρὸς τὸν ὑποδύοντα τὸν ὄφιν καὶ τὸν Ἀδὰμ ἀπατήσαντα καὶ τοῦτον νικήσας, ἐπαξίως ἠμφιάσω, περιβολὴν θείας νίκης. Καὶ νῦν ἐν Παραδείσῳ τῆς τρυφῆς αὐλιζόμενος, πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν... ὁ αὐτός.*

Βλέπε τὴν Ἐλισάβετ, πρὸς τὴν Παρθένον Μαριὰμ διαλεγομένην, τὶ παραγέγονας πρός με μήτηρ τοῦ Κυρίου μου; σὺ βασιλέα βαστάζεις κἀγὼ στρατιώτην, σὺ τὸν νομοδότην κἀγὼ τὸν νομοθέτην, σὺ τὸν λόγον κἀγὼ τὴν φωνὴν τὴν κηρύξασαν τὴν βασιλείαν τῶν οὐρανῶν.

*Ἀπολυτίκιον. Ἦχος α΄.*

Τῆς Νηβρύτου πολίτης καὶ ἐν σώματι Ἄγγελος καὶ θαυματουργὸς ἀνεδείχθης θεοφόρε πατὴρ ἡμῶν Μεθόδιε. Νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ, οὐράνια χαρίσματα λαβών. Θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Δόξα...*

Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε· στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.

www.tezaurliturgic.ro

*Καὶ νῦν... Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α'. Στιχολογίαν, Καθίσματα.

*Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὰ ἐπίγεια πάντα καταλιπὼν, καὶ ἐν κόσμῳ ὑπάρχων σωματικῶς, τῷ πνεύματι γέγονας τῶν Ἀγγέλων συνόμιλος, τὰ γὰρ πάθη νεκρώσας τοῦ σώματος ὅσιε, τῆς Τριάδος ἐδείχθης τερπνὸν καταγώγιον, ὅθεν καὶ νοσούντων θεραπεύεις τὰ πάθη τοῦ πνεύματος χάριτι, θεοφόρε Μεθόδιε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα... τὸ αὐτό.*
*Καὶ νῦν... Θεοτοκίον.*

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ, χαῖρε κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε, χαῖρε Θεοτόκε δωδεκάτειχε πόλις καὶ πύλη χρυσήλατε καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, Θεοκόσμητον σκήνωμα, χαῖρε ἔνδοξε νύμφη Παρθένε ἄφθορε, χαῖρε μόνον ψυχῆς μου διάσωσμα.

www.tezaurliturgic.ro

*Εἰς τὴν β΄ στιχολογίαν καθίσματα ὅμοια.*

Τῆς Νηβρύτου τὸν μέγαν καὶ φαεινόν, τὸν πραότατον ἅμα καὶ συμπαθῆ, τὸν φύσει νικήσαντα τῆς σαρκὸς τὰ κινήματα, καὶ χαλινώσαντα πάντα τὸν θεῖον Μεθόδιον καὶ Χριστῷ ἀπείρῳ τῷ πόθῳ λατρεύσαντα καὶ συγκληρονόμον τῆς αὐτοῦ Βασιλείας, γενόμενον μέτοχον, οἱ πιστοὶ εὐφημήσωμεν καὶ συμφώνως βοήσωμεν, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα... τὸ αὐτό.*
*Καὶ νῦν... Θεοτοκίον.*

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα ὑπὲρ πασῶν τῶν χαρίτων σου, σὺ γὰρ ὤφθης σκέπη ὁμοῦ καὶ βοήθεια πειρασμῶν καὶ θλίψεων ἀεὶ με ἐξαίρουσα. Ὅθεν ὡς ἐκ μέσου φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς προσκυνοῦσιν ἀξίως τὸν πανάγιον τόκον σου.

*Μετὰ τὸν Πολυέλεον, Καθίσματα.*

*Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἀσκητὴν τοῦ Κυρίου ᾠδαῖς τιμήσωμεν σκληραγωγίᾳ καὶ νήψει τὰς προσβολὰς τῶν παθῶν τὸν νεκρώσαντα σαφῶς καὶ σκότος λύσαντα τῆς ἁμαρτίας ἐκτενῶς φιλοσίων οἱ χοροὶ βοῶντες ἐν κατανύξει· Χαῖρε, Νηβρύτου τὸ κῦδος καὶ Ἐκκλησίας ἐγκαλλώπισμα.

www.tezaurliturgic.ro

*Δόξα... Τοῦ ἁγίου.*

*Καὶ νῦν... Θεοτοκίον.*

Ἡ θερμὴ προστασία καί ἀπροσμάχητος, ἡ ἐλπὶς ἡ βεβαία καὶ ἀκαταίσχυντος τεῖχος καὶ σκέπη καὶ λιμὴν τῶν προστρεχόντων σοι ἀεὶ ἱκέτευε Ἁγνὴ σὺν Ἀγγέλοις τοῖς χοροῖς, εἰρήνην δοῦναι τῷ κόσμῳ καὶ σωτηρίαν καὶ μέγα ἔλεος.

*Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄ ἤχου.*

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρί, ἔσεσθε ἀπεξηραμένοι. (δίς)

*Δόξα...*

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

*Καὶ νῦν...*

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

*Καὶ εὐθὺς τὸ Προκείμενον.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ...

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγι-

www.tezaurliturgic.ro

νώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τὶς ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρὸς με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

*Ὁ Ψαλμὸς Ν΄.*

*Δόξα...*

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν...*

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον
τὸ ἀνόμημά μου.

*Καὶ εὐθὺς τὸ Ἰδιόμελον. Ἦχος β΄.*

Σήμερον ἡ Ἐκκλησία τῆς Κρήτης ἀγάλλεται, ἐν τῷ τόπῳ τῆς ἀσκήσεώς σου, τὴν πανσέβαστον μνήμην σου ἑορτάζουσα καὶ Νήβρυτος τὰ τίμιά σου λείψανα, ὡς θησαυρόν ἀτίμητον κατέχουσα, εὐλαβῶς ταῦτα κατασπάζεται καὶ σὲ ἱκετεύει τὴν εὐλογίαν σου πᾶσι κατάπεμψον Ἅγιε Μεθόδιε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

*Καὶ εὐθὺς ὁ Κανὼν τοῦ Ὁσίου.*

www.tezaurliturgic.ro

Ἦχος δ'.

*Ὠδὴ α'. Θαλάσσης τὸ ἐρυθραῖον...*

Ἐν Κρήτῃ ἀναφανεὶς τοῖς ἴχνεσιν ἐπηκολούθησας ἐν εὐσεβείᾳ πάτερ τῷ Χριστῷ πυρσευθεὶς ὦ Μεθόδιε, τῷ ἀληθεῖ θείῳ ἔρωτι, τῆς Νηβρύτου ποιμὴν Ὅσιε.

Ἐθέλχθης ποθεινοτάτῳ ἔρωτι τῷ τοῦ Δεσπότου σου, καταφρονήσας κόσμου τὰ τερπνά, συγκραθεὶς δὲ τῇ χάριτι, ὡς Ἄγγελος ἐβίωσας, διαφερόντως, παμμακάριστε.

Θελήσας ἀσκητικῶς ἐβίωσας πάτερ Μεθόδιε καὶ τὸ ἀρχαῖον κάλλος ἀληθῶς ἐν προσευχῇ καὶ νηστείᾳ ἀνεμόρφωσας κατ' εἰκόνα Χριστοῦ ὃν ἠγάπησας καὶ στεῤῥῷ φρονήματι ἠκολούθησας.

*Θεοτοκίον.*

Ἀσπόρως τῷ τοῦ πατρὸς βουλήματι, ἐκ θείου πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας υἱόν, καὶ σαρκὶ ἀπεκύησας τὸν ἐκ πατρὸς ἀμήτορα καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

*Ἕτερος Κανὼν τοῦ Ὁσίου.*

*Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε...*

Τοῦ φαιδροῦ σου βίου τὰ τερπνά, μέλλων κατορθώματα ἀνευφημεῖν ἐκδυσωπῶ σε Ὅσιε, αἴγλην φωτοδότιδα οὐρανόθεν μοι δωρηθῆναι ἱκέτευε, νέφος ἐκμυοῦσαν, τὸ τῆς ἀγνωσίας μου Μεθόδιε.

Ἐκ τῆς Κρήτης πρὶν ὡς τῷ βυθῷ κρύψας θείῳ νεύματι, ὡς ἐκ βυθοῦ τῆς κοσμικῆς συγχύσεως, σὲ

www.tezaurliturgic.ro
ἀναλαβόμενος κατεφώτισε, θεικαῖς ἐπιγνώσεσι, καὶ ὁλοφαῆ σε ἀστέρα πάτερ Ὅσιε.

Τῆς σαρκὸς τὰ πάθη χαλινῷ μάκαρ τῆς ἀσκήσεως, δουλαγωγῶν τῆς ἀπαθείας ἔρωτι ὤφθης καθαρώτατον οἰκητήριον τοῦ Θεοῦ διὰ πίστεως τοῖς χειμαζομένοις, εὔδιος λιμὴν πάτερ Μεθόδιε.

*Θεοτοκίον.*

Τῆς ἀρχαίας λύτρωσιν ἀρᾶς κόσμῳ παρεχόμενος ὁ λυτρωτὴς ἐκ σοῦ Παρθένε τίκτεται, ἄνθρωπος γενόμενος, ὁ τὸν Ὅσιον ἀναδείξας Μεθόδιον κρήνην ἰαμάτων πᾶσι τοῖς πιστῶς αὐτῷ προστρέχουσι.

*Καταβασία. Ἀνοίξω τὸ στόμα μου...*

*Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει...*

Φωτὸς τοῦ θείου πεπλησμένος ὡράθης Μεθόδιε τῆς Νηβρύτου δὲ ποιμήν, τῆς ποθουμένης μακάριε, διό σου τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἐτήρησας Μεθόδιε ὀρθοδοξίας τὰ δόγματα καὶ τοὺς θεσμοὺς πανευσεβῶς τῆς Ἐκκλησίας ἐκράτυνας διὸ σὲ τοῖς θαύμασι Χριστὸς ἐδόξασε.

Νενευρωμένος τῆς χάριτος ἐλπίδος καὶ πίστεως ὅσιε τῆς σαρκὸς τὸ ἀσθενὲς ψυχῆς στεῤῥότητι ῥώννυσι Θεῷ ἱκετεύσασα σῶμα ὁμόδουλον.

*Θεοτοκίον.*

Ἀπειρογάμως ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον οὐ γὰρ ἔστιν Ἄχραντε, πλήν σου βοήθεια.

www.tezaurliturgic.ro

Δακρύων ἀναβλύσεσι, τῆς Νηβρύτου ὅσιε, τὴν ψυχήν σου αὔλακα, σῖτον θεῖον ἤνεγκας πράξεων, ἀποθήκαις ταῖς ἄνω συντηρούμενος.

Ἀγάπην ὁπλισάμενος, ὡς ῥομφαίαν ὅσιε καὶ θυρεὸν σκεπόμενος, τῆς ἐνθέου σου ταπεινώσεως τὰ στίφη τῶν δαιμόνων ἐξηφάνισας.

Ἀσκήσεως λειμῶνι καθάπερ κρῖνον ἤνθησας εὐωδιάζων ὅσιε, τὰς καρδίας τῶν ἀνυμνούντων σε, καὶ τελούντων σου πίστει τὸ μνημόσυνον.

*Θεοτοκίον.*

Ἀγκάλαις ἐποχούμενον, τῆς τεκούσης Κύριε τὰ τῆς Νηβρύτου πάναγνε δυναστείᾳ Σου ἐσκέπασας δι᾽ ὧν ὤφθης ὁσίων ἐγκαλλώπισμα.

*Καταβασία. Τοὺς σοὺς ὑμνολόγους...*

*Κάθισμα τοῦ Ὁσίου. Ἦχος δ΄. Ἐπεφάνης σήμερον...*

Μεριμνῶν τὸν τάραχον λιπὼν παμμάκαρ, ἐν Νηβρύτῳ ἔζησας βίον θεάρεστον σοφὲ καὶ πρὸς Θεὸν μεταβέβηκας, θαυματοφόρε Μεθόδιε Ὅσιε.

*Δόξα. Καὶ νῦν... Θεοτοκίον.*

Ἐν τῇ σκέπῃ Πάναγνε τῇ σῇ Παρθένε προσφυγόντες ἅπαντες, δεόμεθά σου ἐκτενῶς μὴ διαλίπῃς πρεσβεύουσα Υἱῷ σῷ θείῳ ἀνθρώπῳ σωθῆναι τοὺς δούλους σου.

*ᾨδὴ δ΄. Ἐπαρθέντα σὲ ἰδοῦσα....*

Ἡ οὐράνιος ἡτοίμασται βασιλεία, ὡς ἀθλητῇ σοι ἔνδοξε τῆς γὰρ ἐπιγείου χαίρων μετετέθης σκηνῆς βοῶν τῷ Δεσπότῃ σου, δόξα τῇ δυνάμει σου Κύριε.

www.tezaurliturgic.ro

Στεφανηφόρος Μεθόδιε ἀνεδείχθης, τὴν γὰρ σεπτὴν πολιτείαν σου, θεοφόρε μάκαρ ὁ Κύριος ἐτίμησε διὸ καὶ ἀνέκραζες, δόξα τῇ δυνάμει σου Κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι θεοφόρε ὁ γὰρ Χριστὸς ἠμείψατό σε τῆς καρτερίας, ὅθεν καὶ ἰάματα πηγάζεις τῇ χάριτι. Δόξα τῇ δυνάμει σου Κύριε.

*Θεοτοκίον.*

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν, ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα πίστει ἀδιστάκτῳ κραυγάζομεν.

*Ἕτερος. Ἐλήλυθας ἐκ Παρθένου.*

Ἡ ἄβυσσος τῶν δακρύων σου, πάτερ κατέκλεισε δαιμόνων στρατεύματα, καὶ ἁμαρτίας οἰδήματα, πέλαγος θαυμάτων δὲ τοῖς ἐν βυθῷ νοσημάτων ἀναδέδεικται.

Ὑπομονήν, ἀγρυπνίαν, καὶ σύντονον δέησιν ἀγάπης ἀθόλωτον, πίστιν, ἐλπίδα κτησάμενος, γέγονας συνόμιλος ἐπουρανίων Ἀγγέλων πάτερ ὅσιε.

Ἡδονῶν ἐκοίμησας πολυμόρφων τὰ κύματα θείαις ἀναβάσεσι καὶ ἀνενδότοις καθάρσεσιν. Ὅθεν πρὸς ἀνέσπερον μετὰ τὴν κοίμησιν φέγγος ἐξεδήμησας.

*Θεοτοκίον.*

Ὡς ἥλιος ἐξέλαμψας ἐκ Παρθένου ὡς ἥλιος ἀστέρας αὐγάζοντας ἀποδεικνὺς τοὺς ὁσίους σου κόσμῳ καὶ τοῖς πάθεσιν ἐσταυρωμένους οἰκτίρμον τῇ δυνάμει σου.

*Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν...*

www.tezaurliturgic.ro

*Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς εἰς τὸν κόσμον...*

Μεθόδιε, σοφὲ τῆς Νηβρύτου τὸ καύχημα, ἐκήρυξας ὀρθοδόξως, τὸ τῆς πίστεως δόγμα τῷ Πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ θεοφρόνως διένειμας προστάγματι τοῦ Δεσπότου τοῖς πενίᾳ συζῶσιν ἑπόμενος πανεύφημε.

Ἡ ψυχή σου Ὅσιε ναὸς ἀνεδείχθη τοῦ Ἁγίου Πνεύματος, διὸ τὸν Κύριον θείῳ ἔρωτι ἠκολούθησας.

*Θεοτοκίον.*

Σὲ ὅπλον ἀῤῥαγὲς κατ' ἐχθρῶν προβαλλόμεθα σὲ ἄγκυραν καὶ ἐλπίδα τῆς ἡμῶν σωτηρίας Θεόνυμφε κεκτήμεθα.

*Ἕτερος. Ὁ ἄνθραξ τοῦ Ἡσαΐου.*

Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων, θείαις τοῦ ὁσίου σου παρακλήσεσι λύων τὰ νέφη τῆς ἀθλίας ψυχῆς μου ὄμβρισόν μοι ῥεῖθρα ἀφέσεως· ἄλλον γὰρ ἐκτὸς σου Θεὸν οὐκ ἐπίσταμαι.

Δεινῶν παθῶν ἐκκάθαρον τὸ ὄμμα τῆς διανοίας Πάτερ Θεοφόρε τῇ μεσιτείᾳ καὶ θείᾳ ἐντεύξει σου καὶ διάνοιξον κόρας πυρωθείσας καὶ διασκέδασον φέγγει ἰαμάτων δεινὴν ἀμαυρότητα.

Ῥῶσιν ψυχῆς τε καὶ σώματος καὶ σωτήριον χάριν δεῦτε ἀρυσώμεθα ὡς ἐκ κρήνης τῆς θείας θήκης τοῦ σοφοῦ Μεθοδίου, ταῦτα γὰρ βρύει ὡς νάματα πᾶσι τοῖς αὐτῷ ἀδιστάκτως προστρέχουσι.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Τὸν χορηγὸν τῆς ζωῆς τῶν ἁπάντων καὶ συνοχέα τέτοκας ἀῤῥήτῳ κυοφορία τὸν ἐν ἁγίοις δοξαζόμενον καὶ ὁσίοις ἀναπαυόμενον, ὃν ὑπὲρ ἡμῶν ἐκδυσώπει Θεόνυμφε.

*Καταβασία. Ἐξέστη τὰ σύμπαντα...*

*Ὠδὴ στ'. Θύσω σοι μετὰ φωνῆς...*

Ἴθυνον πρὸς ἀρετὴν τὸν βίον τὸν τῆς ἀσκήσεως τρόπον ταῖς εὐχαῖς σου πάτερ ἐξομαλύσας, ἣν συντόνως εὐθυπορεῖν με μάκαρ ἀξίωσον.

Σωφρόνως τὴν ζωήν σου διήνυσας ὅσιε καὶ μετὰ φρονήσεως ἔσχες, τὴν ἀνδρείαν, καὶ τὴν δικαιοσύνην καὶ τῷ κύκλῳ τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Ἐπέβης τῆς μυστικῆς κλίμακος Μεθόδιε καὶ τῆς τελείας ζωῆς τὸν χαρακτῆρα ἐτίμησας καὶ τὸν ἐχθρὸν ὁλοσχερῶς κατετρόπωσας ἀξιάγαστε.

*Θεοτοκίον.*

Ὢ θαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον ὅτι Παρθένος ἐν μήτρᾳ τὸν τὰ σύμπαντα περιέποντα ἀπειράνδρως συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

*Ἕτερος. Ἐν ἀβύσσῳ πταισμάτων...*

Φανωτάτοις τὸν νοῦν ἐλλαμπόμενος, πάτερ ἀναβάσεσι καθάπερ ἄσαρκος μετὰ σαρκὸς ἐβίωσας παναοίδιμε μάκαρ Μεθόδιε.

Ἠλιοὺ τὸν Θεσβίτην μιμούμενος καὶ ἰχνηλατῶν Ἰωάννην τὸν Πρόδρομον, ἔρημον, Ὅσιε κατῴκησας ἡσυχίᾳ τὸν νοῦν καθαιρόμενος.

www.tezaurliturgic.ro

Τῆς Νηβρύτου φωστὴρ διαυγέστατος τὴν οἰκουμένην φέγγει ἁγιότητος καταφωτίζων ἤστραψας φαεινότατε πάτερ Μεθόδιε.

*Θεοτοκίον.*

Ἐπὶ κούφης νεφέλης καθήμενος πάλαι τοῖς λαοῖς ὁ Χριστὸς ἐπεδήμησε καὶ καθελὼν τὰ εἴδωλα, τῶν ὁσίων πληθὺν ἀπεσπάσατο.

*Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.*

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Μεθοδίου σήμερον τοῦ τῆς Νηβρύτου ἑορτὴν τὴν πάνσεπτον ἐπιτελοῦντες εὐσεβῶς αὐτὸν ὑμνοῦντες προσείπωμεν· χαίροις ὁσίων τερπνὸν ἀγαλλίαμα.

*Ὁ Οἶκος.*

Τίς τὰς σεπτάς σου ἀρετὰς ἀξίως εὐφημήσει καὶ ἱκανῶς ὑμνήσει Μεθόδιε τῆς Νηβρύτου, τὴν σωφροσύνην, τὴν ὑπομονήν, τὴν πραότητα, τὴν ἐγκράτειαν, τὸν ἀκατάπαυστον ὕμνον, τὴν ἄκραν σκληραγωγίαν, καὶ ἔμετρον ταπείνωσιν, ἀεὶ ὑπὲρ τοῦ κόσμου παντός. Διὸ ἀκούεις νῦν παρὰ πάντων πιστῶν, χαίροις ὁσίων τερπνὸν ἀγαλλίαμα.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνὸς μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου πατρὸς ἡμῶν Μεθοδίου, τοῦ Ἡγιασμένου τοῦ ἐν Νηβρύτῳ ἀσκήσαντος.

Στίχοι.

Κρήτην τιμῶμεν ὡς εὐκλεᾶ πατρίδα
Τὴν ὁσίους τίκτουσαν φαεινοτάτους

www.tezaurliturgic.ro

Ἐξ ὧν ὑπάρχει Μεθόδιος ὁ θεῖος
Ἀρεταῖς καὶ πράξεσιν ἠμφιεσμένος
Καὶ πλήρης ἐν θαύμασιν θεόθεν πέλει.
Ὀξὺς γὰρ ἦν ἀρωγὸς τῶν δεομένων
Τῇ δ' εἰκοστῇ πέμπτῃ τύμβος ἐκάλυψε Μεθόδιον.

*Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τὴν κτίσιν...*

Τὸ κατ' εἰκόνα σὺ κεκτημένος βίῳ λαμπροτάτῳ πάτερ προσειληφὼς δι' ἀμφοτέρων ὑπερέλαμψας εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὁμολογίας σὺ τῷ στεφάνῳ πάτερ Μεθόδιε τὴν χαρμονὴν ἔδωκας τῷ πτωχῷ, οὗ τὸν παῖδα ἠλευθέρωσας ἐκβοῶντα, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Στεῤῥοτάτῳ φρονήματι τὰς τοῦ σώματος πάτερ ταλαιπωρίας ἤνεγκας καρτερῶς, τῷ Δεσπότῃ σου εὐχαρίστως ἀναμέλπων, εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

*Θεοτοκίον.*

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα χαῖρε διὰ σοῦ γὰρ δέοται ἡ χαρὰ Θεοτόκε τοῖς κραυγάζουσιν, εὐλογημένη σὺν ἐν γυναιξὶν ὑπάρχεις πανάμωμε Δέσποινα.

*Ἕτερος. Εἰκόνος Χρυσῆς...*

Πυρὶ νοητῷ ἀναφλέξας τῆς ψυχῆς τὰ αἰσθητήρια πῦρ ἁμαρτίας ἀπετέφρωσας τῇ συνεργείᾳ τῇ τοῦ Πνεύματος καὶ φωτοειδὴς καθωράθης ἀναμέλπων Μεθόδιε εὐλογητός εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

www.tezaurliturgic.ro

Πεινώντων τροφή, πενομένων φροντιστὴς ἐδείχθης ὅσιε, ἀδικουμένων ἡ παράκλησις, τῶν ἀσθενούντων ἡ ἴασις πᾶσι τοῖς αἰτοῦσί σε μάκαρ, ὁδηγὸς εἰς τὰ κρείττονα καθικετεύων Θεὸν τὸν τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Θεοῖ με ἐκ σοῦ, ὁ ὑπέρθεος Ἁγνὴ δούλου μορφὴν ὑποδὺς καινοτομεῖ δὲ τρίβους γνώσεως, καὶ τοὺς νόμους τῆς φύσεως πλήθη μοναστῶν καὶ ὁσίων ἐπαγόμενος ψάλλοντα εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

*Καταβασία. Παῖδας εὐαγεῖς...*

*Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας...*

Θεόμενος μάκαρ τὸ σεπτὸν τῆς σῆς ἀσκήσεως, δράκων ὁ δόλιος δοκιμασίαις σὲ ἔκρινε πικροτάταις ὁ παμπόνηρος, ἐν εὐφροσύνῃ δὲ βοῶν ταῦτα ὑπέμεινας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ματαίαν τοῦ κόσμου ἀναστροφὴν καταλιπὼν ἐπὶ τὸ στάδιον τῆς ἀθλήσεως ἔδραμες ἀσκητικώτατα καὶ νικητὴς ἀναδειχθεὶς στέφανον εἴληφας τὸν τῆς νίκης, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀναλαβὼν τὸν σταυρὸν τῆς ἀθλήσεως τὸν Χριστὸν ἠκολούθησας καὶ ἀθλητὴς ἐννομώτατος ἐπὶ τὸ στάδιον ἔδραμες καὶ στέφανον εἴληφας τῆς νίκης, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωτὶ ἐλαμπρύνθης νοητῷ καὶ θείῳ Πνεύματι μάκαρ Μεθόδιε, ὅθεν ἰάματα βρύεις τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ τὴν ἁγίαν σου σορὸν πίστει γεραίρουσι καὶ βοῶσι, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

www.tezaurliturgic.ro

*Θεοτοκίον.*

Σὺ μόνη ἐν πάσαις γενεαῖς Παρθένε ἄχραντε, μήτηρ ἐδείχθης Θεοῦ σὺ τῆς Θεότητος γέγονας ἐνδιαίτημα πανάμωμε μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός, ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

*Ἕτερος. Τὸν ἐν καμίνῳ τοῦ πυρός...*

Ὡς εὐμενὴς καὶ συμπαθής, τῆς Νηβρύτου δὲ ποιμὴν ἡλίου δίκην, τηλαυγέστερον ὤφθης, πάτερ δοχεῖον Θεοῦ, κραυγάζων, ὑμνεῖτε τὸν Κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ταῖς πρὸς τὸν Κύριον εὐχαῖς, ἀποκάθαρον ἡμᾶς πάσης κηλῖδος καὶ πταισμάτων ἀπείρων καὶ τρικυμίας παθῶν καὶ νόσων καὶ θλίψεων λύτρωσαι τοὺς σὲ κατὰ χρέος Μεθόδιε τιμῶντας.

Οἰκονομήσας σεαυτῷ τὴν ζωὴν θεοπρεπῶς ὅσιε Πάτερ οἰκονόμος ἐδείχθης, διακονήσας καλῶς ταῖς χρείαις ἁγίων ὅσιε, μεθ' ὧν ἠξιώθης τῆς ἄνω κληρουχίας.

*Θεοτοκίον.*

Ἡ οὐρανώσασα ἡμῶν τὴν γεώδη καὶ φθαρτὴν οὐσίαν, τῶν Ἀγγέλων ἡ δόξα καὶ τῶν ὁσίων χαρά, ἡ μόνη τῶν κτισμάτων Δέσποινα, ὡς Θεὸν τεκοῦσα ὑμνήσθω εἰς αἰῶνας.

*Ὠδὴ θ'. Λίθος ἀχειρότμητος...*

Ἅπαντα τὸν βίον σκορπήσας, τοῖς δεομένοις θεοφόρε, τὴν δικαιοσύνην σου σαφῶς ἀντικομίζεις συνανατέλλουσαν, ἀντὶ φθαρτῶν δρεπόμενος τὰ δι' αἰῶνος ἀνατέλλοντα.

www.tezaurliturgic.ro

Πτωχὸν ἠλευθέρωσας μάκαρ, τοῦ Παρακλήτου τῇ δυνάμει, δαίμονας σαφῶς ἀπελαύνεις, τῇ ἐνεργεία τούτου πανόλβιε, διὸ πιστοὶ θεώμενοι, σὲ θεοφόρε μεγαλύνομεν.

Η῾ σὴ φωτοφόρος θεόφρον, τῆς μεταστάσεως ἡμέρα πάντας προσκαλεῖται τοὺς πιστούς, πρὸς μετουσίαν τοῦ ἁγιάσματος, ἥν περ καὶ νῦν γηθόμενοι ἐπιτελοῦμεν ἱερώτατε.

*Θεοτοκίον.*

Δέχου τὰς λιτὰς τοῦ λαοῦ σου, πρὸς τὸν υἱόν σου Θεοτόκε λυτρουμένη ἡμᾶς ἐκ κινδύνων καὶ ῥυομένη περιστάσεων τοὺς εὐσεβῶς ὑμνοῦντας σε, σὺ γὰρ προστάτις εἶ τῆς ζωῆς ἡμῶν.

*Ἕτερος. Ἀνάρχου γεννήτορος...*

Ἡμέρα σωτήριος ἡ μνήμη σου ἐπέλαμψε, τὰς ἐν σκότει καρδίας καταφωτίζουσα, λύουσα παθῶν τὴν ὁμίχλην, υἱοὺς φωτὸς δεικνύουσα πάτερ τοὺς σὲ νῦν γεραίροντας τοῦ Κυρίου τὸν θεράποντα.

Κρήτης τὸ καύχημα, τὸ τῆς Ῥεθύμνης βλάστημα Νηβρύτου δὲ τὸ κλέος καὶ τὴν εὐπρέπειαν, τὸν τῆς οἰκουμένης φωστῆρα τὸν ἐπὶ γῆς ἄγγελον φανέντα Μεθόδιον ἅπαντες ἐπαξίως μακαρίσωμεν.

Ἀγγέλων ἐφάμιλλος, ὁσίων ἰσοστάσιος, προφητῶν, ἀποστόλων, μαρτύρων, ἀσκητῶν, ὅσιε συμμέτοχος πέλων, καὶ τῇ σεπτῇ Τριάδι λατρεύων, νοὸς καθαρότητι, ὑπέρ πάντων ἡμῶν μέμνησο.

*Θεοτοκίον.*

Μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει ἀγγέλους Θεοχαρίτωτε, θέλγει τῶν ὁσίων

www.tezaurliturgic.ro
τὸν δῆμον, τοὺς ἱεροὺς εὐφραίνει πατέρας ἐνθέως ὑμνοῦντας σε Θεοτόκε μητροπάρθενε.

*Καταβασία. Ἅπας γηγενής...*

*Ἐξαποστειλάριον τοῦ ὁσίου. Ἐν πνεύματι τῷ ἱερῷ...*

Διατελῶν, ἐν σώματι τῶν Ἀγγέλων τὸν βίον, μετῆλθε, ὥσπερ ἄσαρκος, καὶ τῷ κόσμῳ ἐδείχθης ἀστὴρ ἀεὶ λαμπέστατος καὶ τοῖς πᾶσιν ἐκλάμψας Μεθόδιε θεοφόρε μοναζόντων τὸ κλέος, ἀσκητῶν ἡ καλλονὴ καὶ τῆς Νηβρύτου ἡ δόξα.

*Θεοτοκίον.*

Πάντων ὑπερέχουσαν γηγενῶν καὶ ἀγγέλων Μαρίαν δεῦτε ἅπαντες οἱ πιστοὶ κατὰ χρέος τὴν ἐν γαστρὶ χωρήσασαν τὸν Σωτῆρα καὶ Κύριον καὶ μετὰ τόκον Παρθένον μείνασαν ὡς πρὸ τόκου, ἀνυμνήσωμεν ὡς οὖσαν τοῦ Δεσπότου παλάτιον.

*Εἰς τοὺς ΑΙΝΟΥΣ.*

Ἱστῶμεν Στίχους δ΄. καὶ ψάλλομεν
τὰ ἑξῆς Προσόμοια.

*Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ ἱερέ, Μεθόδιε, ὁ τῆς Ῥεθύμνης βλαστὸς καὶ τῆς Κρήτης ὡράϊσμα, καρτερῶς ὑπήνεγκας τῆς ἀσκήσεως σκάμματα ἐν τῆς Νηβρύτου τὰ ὄρη, ὅσιε, καὶ ἐγκρατείᾳ τὴν σάρκα ἔτηξας· ὅθεν συνέστιος τῶν Ἀγγέλων γέγονας ἐν οὐρανοῖς καὶ ὁσίων σύσκηνος ἐν θείοις δώμασι.

Πάτερ ἱερέ, Μεθόδιε, ὁ τῆς Νηβρύτου θαμὼν εὐλαβὴς καὶ σεμνότατος ζωηφόροις ἴχνεσι τῷ Χριστῷ ἠκολούθησας καὶ τὰ τοῦ βίου τερπνὰ κατέλιπες ἐνατενίζων τῷ ποθουμένῳ σοι κάλλει, πανάριστε, καὶ

www.tezaurliturgic.ro

χαρᾷ τῇ κρείττονι ἐν ταῖς σκηναῖς οὐρανῶν, θεόσοφε, πνευματοφόρητε.

Πάτερ ἱερέ, Μεθόδιε, τῶν ἀγαθῶν ὁ δοτὴρ ἀμοιβὰς ὡς τῶν πόνων σου τῶν ἀόκνων χάριν σοι ἀπευλαύνειν ἐδώρησε δαιμόνων πλήθη, ἰάσθαι πάνδεινα ἄλγη καὶ νόσους διώκειν τάχιστα· ὅθεν νῦν ἅπαντες οἱ πιστοὶ προστρέχοντες πανευλαβῶς χάριτι τῇ θείᾳ σου ῥῶσιν λαμβάνουσι.

Πάτερ ἱερέ, Μεθόδιε, τῶν σῶν λειψάνων σορὸν τὴν σεπτὴν ἀσπαζόμενοι καὶ τὸ θεῖον σπήλαιον τῶν παννύχων σου στάσεων νῦν προσκυνοῦντες σε μεγαλύνομεν ὡς τῶν ὁσίων τῆς Κρήτης πρόβολον καὶ ἀνακράζομεν· οὐρανόθεν, ἅγιε, πέμψον ἡμῖν τοῦ Χριστοῦ τὸ ἄμετρον καὶ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἡ Νήβρυτος, εὐφραίνου ἀνθήσασα τοιοῦτον πολιοῦχον, τὸν ἐν μακαρίοις Μεθόδιον, οὗτος γὰρ τῇ σοφίᾳ τοῦ Ἁγίου Πνεύματος καταγλαϊσθείς, πᾶσαν ἀρετὴν τῇ εὐαρέστῳ πολιτείᾳ αὐτοῦ κατωρθώσατο. Αὐτὸν καὶ ἡμεῖς μεσίτην προσάγομεν, πάντες αἰτοῦντες καὶ λέγοντες. Δυσώπει τὸν Χριστὸν ὅσιε πάτερ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν...*

Βλέπε τὴν Ἐλισάβετ, πρὸς τὴν Παρθένον Μαριὰμ διαλεγομένην, τί παραγέγονας πρός με ἡ μήτηρ τοῦ Κυρίου μου; σὺ Βασιλέα βαστάζεις κἀγὼ στρατιώτην, σὺ τόν νομοδότην κἀγὼ τὸν νομοθέτην, σὺ τὸν Λόγον κἀγὼ τὴν φωνήν, τὴν κυρύξασαν τὴν βασιλείαν τῶν οὐρανῶν.

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

*Τὰ Τυπικὰ καὶ τὸ Προκείμενον τοῦ Ἀποστόλου.*
*Ἦχος Βαρὺς.*

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων...

*Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοὶ πείθεσθε τοῖς ἡγουμένοις ἡμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσαντες, ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστο ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Προκείμενον. Μακάριος Ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Στίχ. Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.*

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι

www.tezaurliturgic.ro

αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστι, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γάρ, ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.*

*Μεγαλυνάριον.*

Χαίροις τῆς Ῥεθύμνης θεῖος βλαστὸς ταχυνὸς προστάτης τῆς Νηβρύτου καὶ τηλαυγὴς λύχνος τῆς Τριάδος ἀπαύστως καταυγάζων πρὸς μετανοίας τρίβους πάντας, Μεθόδιε.

*Μεγαλυνάριον.*

Θήκην τῶν λειψάνων σου τὴν σεπτὴν πάντες προσκυνοῦντες καὶ πανσέμνου σου ἀγωγῆς ἀνυμνοῦντες πόνους ἐν ὄρει τῆς Νηβρύτου αἰτούμεθα λιτάς σου, μάκαρ Μεθόδιε.

www.tezaurliturgic.ro




*Ἔργο ἁγιογράφου Μιχ. Βασιλάκη.*
*Ἱερά Μονή Ἀγκαράθου Κρήτης.*